eul_wid: ago-aa

*Καλλῖνος ὁ Ἐφέσιος* · Callinus of Ephesus

# Exhortation to the Young

## *Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἰωνική* Ionic (el, frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 μέχρις τέο κατάκεισθε; κότ’ ἄλκιμον ἕξετε θυμόν, ὦ νέοι; οὐδ’ αἰδεῖσθ’ ἀμφιπερικτίονας ὧδε λίην μεθιέντες; ἐν εἰρήνηι δὲ δοκεῖτε ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει[ln_5]......... [ln_5]καί τις ἀποθνήσκων ὕστατ’ ἀκοντισάτω. τιμῆέν

book 1.2 τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι γῆς πέρι καὶ παίδων κουριδίης τ’ ἀλόχου δυσμενέσιν· θάνατος δὲ τότ’ ἔσσεται, ὀππότε κεν δὴ

book 1.1 Μοῖραι ἐπικλώσωσ’. ἀλλά τις ἰθὺς ἴτω[ln_10]ἔγχος ἀνασχόμενος καὶ ὑπ’ ἀσπίδος ἄλκιμον ἦτορ ἔλσας, τὸ πρῶτον μειγνυμένου

book 1.2 πολέμου. οὐ γάρ κως θάνατόν γε

book 1.3 φυγεῖν εἱμαρμένον ἐστὶν ἄνδρ’, οὐδ’ εἰ προγόνων ἦι γένος ἀθανάτων. πολλάκι δηϊοτῆτα

book 1.4 φυγὼν καὶ δοῦπον ἀκόντων[ln_15]ἔρχεται, ἐν δ’ οἴκωι μοῖρα κίχεν θανάτου, ἀλλ’ ὁ μὲν οὐκ ἔμπης δήμωι φίλος οὐδὲ ποθεινός· τὸν δ’ ὀλίγος

book 1.5 στενάχει καὶ μέγας ἤν

book 1.6 τι πάθηι· λαῶι γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς θνήσκοντος, ζώων δ’ ἄξιος ἡμιθέων·

book 1.1 [ln_20]ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν· ἔρδει γὰρ

book 1.2 πολλῶν ἄξια μοῦνος ἐών.

book 2 Σμυρναίους δ’ ἐλέησον,

book 2a μνῆσαι δ’, εἴ κοτέ τοι μηρία καλὰ βοῶν 〈Σμυρναῖοι κατέκηαν〉.

book 4 Τρήερας ἄνδρας ἄγων.

book 5a.1 νῦν δ’ ἐπὶ Κιμμερίων

book 5a.2 στρατὸς ἔρχεται ὀβριμοεργῶν,